ΓΑΝ. Τί γάρ σε πρὸς τὸν ὕπνον ὀνήσει τὸ κάλλος;

ΖΕΥΣ. Ἔχει τὶ θέλκτρον ἡδὺ 12), καὶ μαλακώτερον ἐπάγει αὐτόν.

ΓΑΝ. Καὶ μὴν ὅγε πατὴρ ἤχθετό μοι συγκαθεύδοντι, καὶ διηγεῖτο ἕωθεν, ὡς ἀφεῖλον αὐτοῦ τὸν ὕπνον ϛρεφόμενος, καὶ λακτίζων, καί τι φθεγγόμενος μεταξὺ ὁπότε καθεύδοιμι· ὥϛε παρὰ τὴν μητέρα ἔπεμπέ με κοιμηθησόμενον τὰ πολλά· ὥρα δή σοι, εἰ διὰ τȣ̃το, ὡς φὴς, ἀνήρπασάς με, καταθεῖναι αὖθις ἐς τὴν γῆν, ἢ πράγματα ἕξεις ἀγρυπνῶν· ἐνοχλήσω γάρ σε συνεχῶς ϛρεφόμενος.

ΖΕΥΣ. Τȣ̃τ' αὐτό μοι τὸ ἥδιϛον ποιήσεις, εἰ ἀγρυπνήσαιμι μετὰ σοῦ. Φιλῶν γὰρ διατελέσω πολλάκις, καὶ περιπτύσσων.

ΓΑΝ. Αὐτὸς ἂν εἰδείης· ἐγὼ δὲ κοιμήσομαι, σȣ̃ καταφιλȣ̃ντος.

ΖΕΥΣ. Εἰσόμεθα τότε, τί πρακτέον· νῦν δὲ ἄπαγε αὐτὸν, ὦ Ἑρμῆ καὶ πιόντα τῆς ἀθανασίας, ἄγε οἰνοχοήσοντα ἡμῖν, διδάξας πρότερον, ὡς χρὴ ὀρέγειν τὸν σκύφον.



12) θελκτρον ηδυ) quantam vim in omnibus habeat το καλλος, enarrabit tibi laudator pulchritudinis, Critobulus, in Sympoſio Xenoph. c. 4. T. IV. p. 451. Edit. Lipſ.